ὅθεν Ἴξιος Ἀπόλλων, ὥς φησιν Ἀρτεμίδωρος δεκάτῳ τῶν γεωγραφουμένων· τινὲς δὲ, καὶ ἴδιον χαπτίον νομίζουσι, καὶ πρὸς τὸν χορὸν ἀναφέρουσι. ἤγουν, ἴδιον, εἴτε οἰκεῖον χορόν.

CHR. Ἀγέχορον ἰκίον.] Editio Veneta habet οἰκεῖον, malè vt arbitror. Nam ἰκίον videtur esse ab insula quæ Ἶκος dicitur vna ex Cycladibus, deinde metrum videtur postulare pedem Pyrrichium. ἐπὶ δ' ἐνύσιον autem mutarem libenter, & diuiderem in tria ἐπὶ δὲ νύσιον. Quod verò ait μετὰ μαινάσι nullus est error, nam præpositio hæc etiam datiuis iungitur vt Homerus, μετὰ τοῖσιν ἔβη, sed mox pro διὰ τε, legerem Δία τε vt ad Iouem referatur.

BISETVS. Ἐπὶ δὲ Νύσιον.] Νύσιον τὸν Διόνυσον καλεῖσθαι καὶ ἄνω δεδήλωται. Νύσα γὰρ, ἡ Νύσα ὄρος Θρᾴκης, ὃ καὶ παρ' Ὁμήρῳ, Νυσήιον, ἀφ' οὗ ὁ Διόνυσος παρωνομάσθαι δοκεῖ. Εὐς. εὔφρονα δὲ τοῦτον καλεῖ, ὅτι τοῦ οἴνου εὑρετὴς, καὶ δοτήρ. ὁ δὲ οἶνος τοὺς ἀνθρώπους C εὐφραίνει. Εὐριπίδης ἐν Βάκχαις,

Ὁ δ' ἦλθ' ἐπὶ τἀντίπαλον ὁ Σεμέλης γόνος.
Βότρυος ὑγρὸν πῶμ' εὗρε, κ' εἰσηνέγκατο
Θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
Λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς.
Ὕπνου τε λήθην τῶν καθ' ἡμέραν κακῶν
Δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.

Μετὰ Μαινάσι.] Μαινάδες, αἱ Βάκχαι μαινόμεναι. ζητοῦσαι βακχεύειν, παράφρονες. τὸ δὲ δαίεται, τινὲς ἑρμηνεύουσιν εὐωχεῖται. ἀλλὰ τοῦτο ἀπιθανώτερον. βέλτιον D ἴσως ἑρμηνεύειν, λάμπει, πυρὸς δίκην τοῖς ὄμμασι βακχείοις, καὶ μανιώδεσι ἐν μέσῳ τῶν Μαινάδων φέρεται. τῶν γὰρ μαινομένων τὰ ὄμματα, δεινὰ προσορᾶν, καὶ οἱονεὶ σπινθῆρας πυρὸς διὰ τὴν μανίαν ἐκβάλλει. Δία τε πυρὶ φλεγόμενον.] τούτων τὸ πλῆρές ἐστιν, ὡς ἐκ τῶν

A προηγουμένων δῆλον, καὶ ἐπικαλέσον τὸν Δία τε πυρὶ φλεγόμενον, ἀντὶ τοῦ φλέγοντα δηλονότι τοῖς κεραυνοῖς, καὶ σκηπτοῖς. Ἐπί τε πότνιαν ἄλοχον.] περιφραστικῶς τὴν Ἥραν τοῦ Διὸς γαμετὴν οὕτω καλεῖ. ὡς δὲ ἐν τοῖς ἄνω τὸ, ἐπὶ δὲ Νύσιον, ληπτέον ἀντὶ τοῦ, ἐπικάλεσον δὲ καὶ τὸν Νύσιον, εἴτε Διόνυσον οὕτω καὶ ἐνταῦθα. ἐπί τε πότνιαν, νοητέον ἀντὶ τοῦ, ἐπικάλεσον δὲ καὶ τὴν Ἥραν Διὸς σεβαστὴν καὶ ὀλβίαν γυναῖκα. Εἶτα δὲ δαίμονας.] τοὺς ἄλλους θεοὺς, καὶ τὴν αὐτῶν δύναμιν, ἐπικάλεσον, ἵνα τῶν συνθηκῶν μάρτυρες ὦσι, καὶ τοὺς παραβαίνοντας τοὺς τῶν B σπονδῶν ὅρκους τιμωρῶσι, καὶ κακοὺς κακῶς ἀπολέσωσι. τὸ δὲ ἐπιμάρτυσι, ποιητικώτερον. ἡ δὲ δοτικὴ αὕτη πληθυντικὴ ἀπὸ τῆς εὐθείας ἑνικῆς, μάρτυς, υος, παρῆκται. ἀνθ', οὗ μάρτυρ, μάρτυρος, καὶ μάρτυρος, μαρτύρου κοινότερα. οἷς ἐπιμάρτυσι, οἷς ἐπιμαρτύροις. Θεὰ Κύπρις] ἡ Ἀφροδίτη. τοῦτο δὲ λέγει, ὅτι αἱ γυναῖκες τοὺς ἑαυτῶν ἄνδρας, εἰ τῆς εἰωθυίας ὁμιλίας, καὶ συνελεύσεως τυχεῖν ἐβούλοντο, τὰς διαλλαγὰς πρὸς τοὺς πολεμίους ποιεῖσθαι ἠνάγκαζον. Ἀλαλαί.] ἐπιφώνημα χοροῦ. καὶ ἀλαλαγμὸς, ἐπινίκιος ὕμνος. ἡ φωνὴ ὑπὸ τῶν θαρραλεωτέρων κατὰ τῶν δειλιώντων. ἀλαλαγμὸς οἷον ὕψωμα φωνῆς. καὶ ἀλαλάξατε, κροτήσατε. καὶ ἀλαλὴ, στρατιωτικὸς ἀλαλαγμὸς, ὃν ἀλαλὰν λέγουσιν οἱ Δωριεῖς, βοὴν οὖσαν πρὸ μάχης. Εὐς. Ἰὴ παιήων.] παιανίζειν ἤγουν ᾄδειν παιᾶνι Φοίβῳ ὕμνον παιᾶνα, οὗ ἐπῳδὸς τὸ, ἰὴ Παιάν. ὅπερ ἦν παιονικόν τι ἐπίρρημα. ἔστι δὲ παιήων, ὕμνος τὶς ὥς φασιν, εἰς Ἀπόλλωνα οὐ μόνον ἐπὶ παύσει λοιμοῦ, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου. πολλάκις δὲ καὶ προσδοκωμένου τινὸς δεινοῦ ᾀδόμενος. καὶ ὁ μὲν Ὅμηρος παιήονα τοῦτον καλεῖ. οἱ δὲ μετ' αὐτὸν, καὶ παιῶνα. ἀλλὰ περὶ τούτων, καὶ ἐν τοῖς ἄνω προείρηται. καὶ Εὐστάθιος διὰ πλειόνων ταῦτα διεξέρχεται. ἰαὶ δὲ, καὶ εὐοὶ, καὶ εὐαὶ, ἐπιρρήματα τῶν ὀρχουμένων, καὶ ἀλαλαζόντων, καὶ ποικίλας φωνὰς ἐν τῷ ὀρχεῖσθαι φωνούντων. ὧν αἱ μὲν χαρὰν, αἱ δὲ παραινέσιν πρὸς ὄρχησιν, ὡς ἐνταῦθα, δηλοῦσι.

E

## ΧΟΡΟΣ ΛΑΚΩΝΩΝ.

Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα
Μῶσα
Μόλε Λάκαινα πρεπτὸν ἁμὶν
Κλέωα τὸν Ἀμύκλαις Ἀπόλλω σιὸν
Καὶ χαλκίοικον Ἀσάναν.
Τυνδαρίδας τ' ἀγασώς.
Τοὶ δὴ πὰρ Εὐρώταν ψιάδδοντι
Εἶα μάλ' ἔμβη-
Ὢ ἴα κοῦφα πάλλων.
Ὡς Σπάρταν ὑμνιῶμες,
Τᾷ σιῶν χοροὶ μέλλοντι.
Καὶ ποδῶν κτύπος.
Ἅ τε πῶλοι ταὶ κῶραι
Πὰρ τὸν Εὐρώταν

## CHORVS LACONVM.

Taygeti amata tesqua, Musa nunc relinquens
Mihi Lacæna, ades nitentem
Apollinem in Amyclis celebrans deum
Cantu, æreas & Athenas.
F Tyndaridásque bonos.
Qui propter Eurotam vacant ludis
Et leuia in altum ab-
Legmina multa vibrant.
O cantemus Spartam vrbem
Quæ choros amat deorum
Et pedum sonos:
Tum puellæ atque innupiæ
G Ad vada Eurota

BISETVS. Ταΰγετον.] Ὁ τῶν Λακώνων χορὸς, Λακωνικῇ κατὰ πάντα διαλέκτῳ χρώμενος, τοὺς πατρίους θεοὺς εὐχαριστῶν ὑμνεῖ, καὶ οὕτω τῷ παρόντι δράματι τέλος ἐπιτίθησι. Ταΰγετον δὲ, ὄρος τῆς Λακωνικῆς, ὡς προείρηται. ἐραννὸν δὲ, ἐρατεινὸν, ἐπέραστον, ποθεινὸν, τίμιον, καλόν. Ὅμηρος, Καλυδῶνος ἐραννῆς. Ἐκλιπῶα Μῶα] περὶ τοῦ τῶν τοιούτων σχηματίσεως ἐν τοῖς ἄνω ἀρκούντως ἐῤῥέθη. κοινῶς, ἐκλιποῦσα Μοῦσα. ὅμοιον καὶ τὸ ἑξῆς.